Ἀδελφοί, Θεοῦ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε. Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ· θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός.
Εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει· ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει.
Εἴ τινος τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός.
**Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς**..

**Ἀπόδοση στη νεοελληνική:**

Ἀδελφοί, ἐμεῖς εἴμεθα συνεργάται τοῦ Θεοῦ, καὶ σεῖς εἶσθε χωράφι τοῦ Θεοῦ, οἰκοδομὴ τοῦ Θεοῦ. Κατὰ τὴν χάριν τοῦ Θεοῦ ποὺ μοῦ ἐδόθηκε, σὰν σοφὸς ἀρχιτέκτων ἐγὼ ἔβαλα θεμέλιον, ἄλλος δὲ κτίζει τὴν οἰκοδομήν. Ὁ καθένας ἂς προσέχῃ μὲ ποιὸν τρόπον οἰκοδομεῖ.
Ἄλλο θεμέλιον κανεὶς δὲν μπορεῖ νὰ βάλῃ παρὰ ἐκεῖνο ποὺ ἔχει τεθῆ, τὸ ὁποῖον εἶναι ὁ Ἰησοῦς Χριστός.
Ἐὰν κανεὶς κτίζῃ ἐπάνω εἰς τὸ θεμέλιον αὐτὸ χρυσάφι, ἀσῆμι, πολυτίμους λίθους, ξύλα, χορτάρι, καλάμια, τοῦ καθενὸς τὸ ἔργον θὰ γίνῃ φανερόν· ἡ Ἡμέρα θὰ τὸ φανερώσῃ, διότι ἡ ἡμέρα ἐκείνη ἀποκαλύπτεται μὲ φωτιὰ καὶ ἡ φωτιὰ θὰ δοκιμάσῃ τί εἴδους ἔργον ἔκανε ὁ καθένας.
Ἐὰν τὸ ἔργον ποὺ ἔκτισε ἕνας μείνῃ, αὐτὸς θὰ ἀνταμειφθῇ. Ἐὰν κάποιου τὸ ἔργον καῇ, θὰ ὑποστῇ ζημίαν, ὁ ἴδιος ὅμως θὰ σωθῇ, ἀλλὰ κατὰ τέτοιον τρόπον ὅπως σώζεται κανεὶς ἀπὸ πυρκαϊάν.
**Δὲν ξέρετε ὅτι εἶσθε ναὸς τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ κατοικεῖ μέσα σας; Ἐὰν καταστρέφῃ κανεὶς τὸν ναὸν τοῦ Θεοῦ, θὰ τὸν καταστρέψῃ ὁ Θεός, διότι ὁ ναὸς τοῦ Θεοῦ εἶναι ἅγιος, καὶ ὁ ναὸς αὐτὸς εἶσθε σεῖς**.


Phoca PDF